Lexicon: Letter Psi by Photius of Constantinople

ψ.654 Ψιλεύς: ἐπ᾽ ἄκρου χοροῦ ἱστάμενος· ὅθεν καὶ φιλόψιλος παρὰ Ἀλκμᾶνι, ἡ φιλοῦσα ἐπ᾽ ἄκρου χοροῦ ἵστασθαι. Ψιλοδαπίδας: τὰς ψιλὰς καὶ μὴ μαλλωτὰς δαπίδας λέγουσιν. Ψιλοκόρρης: φαλακρός. Ψιλὴ γῆ: ἡ μὴ
ψ.655 πεφυτευμένη· Πεφυτευμένη δ᾽ αὕτη ᾽στὶν, ἢ ψιλὴ μόνον· Πόλεσιν. Ψιλόν: γυμνόν. Ψιλώεντα: αἰθαλώδη. Ψίμαρον: εὐδιαῖον. Ψινάδες: παρὰ Θεοφράστω αἱ ῥυάδες, αἱ ἄμπελοι ἔνιοι τὰς δρυπέπεις ἐλαίας. Ψινάζει: ἀπορρεῖ τὰ ἀσθενῆ τοῦ καρποῦ· φυλλορροεῖ. Ψινύθιον: φαῦλον. Ψίσαι: ψωμίσαι. Ψίτται: ἰχθύων εἶδος. Ψιττακίαν: ὑποδήματος γυναικείου γένος. Ψίχες: ἀρρενικῶς οἱ ψίχες καὶ τοὺς ψίχας. Ψο: ἐπὶ τοῦ σαπροῦ καὶ μὴ συναρέσκοντος· ἔστι δὲ ἀποκομματικοῦ λεξειδίου· ψόθον γὰρ καλοῦσιν· Ἀριστοφάνης· Πλέω γράσου τε καὶ ψοθοίου καὶ ῥύπου καὶ ψόθου· Αἰσχύλος Θεωροῖς. Ψόθος: ἀκαθαρσία· οὕτως Φρύνιχος. Ψόας: ἢ ψοίας, ἢ ὅπη χρὴ καλεῖν, παρ᾽ οὐδενὶ Ἀττικῶν εὗρον· οἱ δὲ παλαιοὶ γυμνασταὶ ἀλώπεκα προσαγορεύουσιν. Ψοίθης: ἀλαζών. Ψοῖθος: σποδός. Ψολόεν: φλογόεν πῦρ. Ψολόεντα κεραυνόν: τὸν ὀξέως φθείροντα. Ψολοκομπία: ἀλαζονεία· Ἀριστοφάνης Ἱππεῦσιν·

Ἥσθην ἀπειλαῖς, ἐγέλασα ψολοκομπίαις.

ψ.656 Ψούδια: ψευδῆ· Κρῆτες. Ψοφοδεής: δειλός· τοὺς ψόφους φοβούμενος. Ψυκτήρ: σκεῦος ἔνθα διανίζουσι τὰ ποτήρια. Ψύλλα καὶ ψύλλαι: θηλυκῶς· παρὰ δὲ Ἡροδότῳ Ψύλλοι, ἔθνος Λιβύης· καὶ τὸ ἐν τῇ Μεσηνίαι Μενάνδρου κύριον ὄνομα· ὅτι δὲ τὸ ζωῖον τὸ μικρὸν ἀρρενικῶς Ἐπίχαρμος εἶπεν καὶ ἕτεροι. Ψύξας: φυσήσας· ἢ ἀμβλύνας. Ψύψαρα τὸν Διόνυσον ἄγοντες: ἡ παροιμία παρὰ Κρατίνῳ· τὰ δὲ Ψύρα νησίδιον ἔρημον πλησίον Χίου· λέλεκται δὲ ἐπὶ τῶν εὐτέλειαν σημαινόντων. Ψυχαγωγεῖ: παραμυθεῖται· τέρπει. Ψύττα: ἐπὶ τοῦ ἀποδραμεῖν. Ψυχάζειν: ἀναψύχειν. Ψυχάζουσιν: πρὸς τὸ ψῦχος καὶ τὸ πνεῦμα διατρίβουσιν, ἵνα ἀναψυχήν τινα λάβωσιν· ἔστι δὲ ὅμοιον τὸ χειμάζειν. Ψυχικός: σαρκικός· σημαίνει δὲ καὶ τὸν ἀνδρόθυμον· οὕτως Ἄλεξις. Ψυχορροφεῖν: τὴν ψυχὴν ἐκπίνειν. Ψῦχος: τὸ ῥῖγος· Ἡρόδοτος· ἀλλὰ καὶ Ἕρμιππος. Ψυχρὸς ἄνθρωπος: ἀντὶ τοῦ δυσκίνητος. Ψυχουλκούμενος: τὴν ψυχὴν ἑλκόμενος. Ψυχρολογία: ψευδολογία· ἀκαιρολογία. Ψυχρὸν πρᾶγμα:

ψ.657 Ψυχρός: ἀσθενής. Ψῶζα: νόσος τίς· Εὔπολις Μαρικᾷ· Ὃς θυμήνας τοῖς στρατιώταις λοιμὸν καὶ ψῶζαν ἔπεμψεν· οἱ δὲ φασὶ καὶ τὸ τῆς νόσου εἶδος· ὅτι κνησμὸς μετὰ δυσωδίας. Ψώθια: τὸ ὑποκάτω τοῦ ἄρτου. Ψωλὸν γενέσθαι δεῖ σε μέχρι τοῦ μυρρίνου: ἡ παροιμία παρὰ Ἀριστοφάνει ἐν Ἱππεῦσιν· ἐλέχθη δὲ ἐπὶ τῶν μέχρι πολλοῦ διελκυσμένων· παρὰ δὲ Διφίλῳ ἐν τοῖς ἐναγίσμασι παραπεποίηται ἄχρι τοῦ λάρυγγος. Ψωλός: ὁ λιπόδερμος· ὀξυτόνως· καὶ ἀκρόψωλος, ὁ ἐπιβραχὺ τοιοῦτος. Ψωμοκόλακες: Φιλιππίδης. Ψώμισμα: διάσυρμα. Ψωμός: ὡς ἡμεῖς· Ἐπίλυκος. Ψωρᾶν: καὶ βραγχᾶν· δισυλλάβως λέγουσιν. Ψῶχος: γῆ ψαμμώδης. Ψώχοντες: θρύπτοντες· λεπτύνοντες.

---

https://eulogikon.org/works/photius-constantinople-lexicon-letter-psi-woy-bi · eul_wid woy-bi · Diogenes Lab reading page c33b728d108c